h. 1. c. 5: Miles urbanus — postquam neque dari donatiuum sub nomine Galbae promissum — intellegit — pronus ad nouas res — nec deerant sermones senium atque auaritiam Galbae increpantium. — Accessit Galbae uox pro repu-

μεμφομένους ἀκούσας ἀφῆκε φώνην ἡγεμόνι μεγάλῳ πρέπουσαν, εἰπὼν εἰωθέναι καταλέγειν στρατιώτας οὐκ ἀγοράζειν, πυθομένοις τοῦτο δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν.

blica honesta, ipsi anceps, legi a se militem, non emi; nec enim ad hanc formam cetera erant.

c. 18 Z. 18: *οἱ δὲ πρότερον ὑπὸ Οὐεργινίῳ γενόμενοι, τότε δ' ὄντες ὑπὸ Φλάκκῳ περὶ Γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὐτοὺς διὰ τὴν μάχην ἣν ἐμαχέσαντο πρὸς Οὐίνδικα, μηδενὸς δὲ τυγχάνοντες ἀπαρηγόρητοι τοῖς ἄρχουσιν ἦσαν. αὐτὸν δὲ τὸν Φλάκκον ὑπὸ συντόνου ποδάγρας ἀδύνατον ὄντα τῷ σώματι καὶ πραγμάτων ἄπειρον ἐν οὐδενὶ λόγῳ τὸ παράπαν ἐποιοῦντο.*

1. c. 8: Germani exercitus, quod periculosissimum in tantis uiribus, solliciti et irati, superbia recentis uictoriae et metu tamquam alias partes fouissent. c. 9: superior exercitus legatum Hordeonium Flaccum spernebat, senecta ac debilitate pedum inualidum, sine constantia, sine auctoritate.

c. 19 Z. 1: *Τοιαῦτα δ' ἕτερα καὶ τῶν ὑπὸ Τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις ἐπέμπετο γράμματα τῷ Γάλβᾳ παρὰ τῶν ἐπιτρόπων· ὁ δὲ φοβηθεὶς ὡς μὴ μόνον διὰ τὸ γῆρας ἀλλὰ καὶ διὰ τὴν ἀπαιδίαν καταφρονούμενος ἐβουλεύετο παῖδα θέσθαι τῶν ἐπιφανῶν τινὰ νεανίσκων καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς. ἦν δὲ Μάρκος Ὄθων, ἀνὴρ γένει μὲν οὐκ ἀφανής, τρυφῇ δὲ καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀλίγοις Ῥωμαίων διεφθαρμένος — οὕτω γεγο-*

1. c. 24: flagrantibus iam militum animis uelut faces addiderat Maeuius Pudens e proximis Tigellini. c. 13: Pompei Propinqui procuratoris a Belgica literae adferuntur, superioris Germaniae legiones rupta sacramenti reuerentia imperatorem alium flagitare — maturauit ea res consilium Galbae iam pridem de adoptione secum et cum proximis agitantis. c. 13: namque Otho pueritiam incuriose, adulescentiam petulanter egerat gratus Neroni aemulatione luxus. co-

νὼς περιβόητος ἐν Ῥώμῃ διὰ τὸν Ποππαίας γάμον, ἧς ἤρα μὲν ὁ Νέρων — ἔτι δ' αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα — ὑφῆκε τὸν Ὄθωνα πειρῶντα τὴν Ποππαίαν. φίλῳ δὲ τῷ Ὄθωνι καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο. — ἀλλὰ τήν γε Ποππαίαν προμοιχεύσας τῷ Νέρωνι καὶ διαφθείρας — ἐλθούσης δὲ παρ' αὐτὸν ὡς γαμετῆς οὐκ ἠγάπα μετέχων — ἐκινδύνευσεν οὖν ὁ Ὄθων ἀποθανεῖν. c. 20: *ἐξεπέμπθη Λυσιτανῶν στρατηγὸς ἐπὶ τὸν Ὠκέανον. καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν οὐδ' ἐπαχθῆ τοῖς ὑπηκόοις. — ἀποστάντος δὲ Γάλβα πρῶτος αὐτῷ προσεχώρησε τῶν ἡγεμόνων — καὶ τὰ ἄλλα πιστὸς ἦν αὐτῷ καὶ διδοὺς πεῖραν οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι. — ἐν δὲ τῇ συνοδίᾳ καὶ τῇ συνηθείᾳ τὸν Οὐίνιον ἐθεράπευσεν ὁμιλίᾳ καὶ δώροις μάλιστα δὲ τῶν πρωτείων ὑφιέμενος αὐτῷ τό γε μετ' ἐκεῖνον δύνασθαι δι' ἐκεῖνον εἶχε βεβαίως. τῷ δ' ἀνεπιφθόνῳ περιῆν προῖκα συμπράττων πάντα τοῖς δεομένοις καὶ παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. πλεῖστα δὲ τοῖς στρατιωτικοῖς συνελάμβανε καὶ προῆγε πολλοὺς ἐφ' ἡγεμονίας τὰ μὲν*

que Poppaeam Sabinam, principale scortum ut apud conscium libidinum deposuerat, donec Octauiam uxorem amoliretur. mox suspectum in eadem Poppaea in prouinciam Lusitaniam specie legationis seposuit. Otho comiter administrata prouincia primus in partes transgressus nec segnis et donec bellum fuit inter praesentes splendidissimus.

Vinius pro M. Othone — neque erat Galbae ignota Othonis ac Titi Vini amicitia. c. 23: studia militum iam pridem spe successionis aut paratu facinoris adfectauerat, in itinere, in agmine, in stationibus uetustissimum quemque militum nomine uocans ac memoria Neroniani comitatus contubernales appellando; alios adgnoscere, quosdam requirere et pecunia aut gratia iuuare.

αἰτούμενος ἀπὸ τοῦ αὐτοκράτορος, τὰ δὲ τὸν Οὐίνιον καὶ τοὺς ἀπελευθέρους παρακαλῶν Ἴκελον καὶ Ἀσιάτικον· οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιστα τῶν περὶ τὴν αὐλήν. ὁσάκις δὲ τὸν Γάλβαν εἱστία, τὴν παραφυλάττουσαν ἀεὶ σπεῖραν ἐδέκαζε χρυσοῦν ἑκάστῳ διανέμων, οἷς τιμᾶν αὐτὸν ἐδόκει καταπολιτευόμενος καὶ δημαγωγῶν τὸ στρατιωτικόν.	c. 13: potentia principatus diuisa in Titum Vinium consulem et Cornelium Laconem praetorii praefectum; nec minor gratiae Icelo Galbae liberto. c. 24: ut per speciem conuiuii, quotiens Galba apud Othonem epularetur, cohorti excubias agenti uiritim centenos nummos diuideret.
c. 21: *ἀλλ' οὖν βουλευομένου γε τοῦ Γάλβα περὶ διαδόχου τὸν Ὄθωνα παρεισῆγεν ὁ Οὐίνιος οὐδὲ τοῦτο προῖκα πράσσων, ἀλλ' ἐπὶ γάμῳ τῆς θυγατρὸς ὁμολογίας γενομένης γαμεῖν αὐτὴν τὸν Ὄθωνα παῖδα τοῦ Γάλβα καὶ διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας.*	c. 13: Vinius pro M. Othone — quia Vinio uidua filia, caelebs Otho, gener ac socer destinabantur.
c. 21 Z. 5: *ὁ δὲ Γάλβας — δοκεῖ δὲ μηδ' ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἑλέσθαι τὸν Ὄθωνα κληρονόμον, ἀκόλαστον εἰδὼς καὶ πολυτελῆ καὶ πεντακισχιλίων μυριάδων*[1] *ὀφλήμασι βεβαπτισμένον. — ἀποδείξας δ' αὐτὸν ὕπατον καὶ συνάρχοντα τὸν Οὐίνιον ἐπίδοξος ἦν ἔτους ἀρχῇ τὸν διάδοχον ἀναγορεύσειν καὶ τὸ στρατιωτικὸν ἡδέως εἶχε τὸν Ὄθωνα παρ' ὁντινοῦν ἄλλον ἀναγορευθῆναι.*	c. 13: credo (Galbae) et rei publicae curam subisse frustra a Nerone translatae si apud Othonem relinqueretur. c. 21: interea Othonem — exstimulabant luxuria etiam principi onerosa, inopia uix priuato toleranda. c. 11: hic fuit rerum Romanarum status, cum Seruius Galba iterum Titus Vinius consules inchoauere annum. c. 13: (Otho) spem adoptionis conceptam acrius in diem

[1]) Woher Plutarch diese Zahlenangabe hat, ist nicht zu bestimmen.

c. 22: *καταλαμβάνει δ' αὐνὸν ἔτι μέλλοντα καὶ βουλευόμενον ἐκραγέντα τὰ Γερμανικά. κοινῇ γὰρ ἅπαντες οἱ στρατευόαενοι τὸν Γάλβαν ἐμίσουν οὐκ ἀποδιδόντα τὴν δωρεάν, ἰδίας δ' ἐκεῖνοι προφάσεις ἐποιοῦντο Οὐεργίνιόν τε Ῥοῦφον ἀπεῤῥιμμένον ἀτίμως καὶ Γαλατῶν τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας.*

c. 22 Z. 11: *ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνός, ἣν καλάνδας Ἰανουαρίας καλοῦσι· τοῦ δὲ Φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον ὃν ἔθος ἐστὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ Γάλβα προσελθόννες ἀνέτρεψαν καὶ κατέσπασαν, αὐτοὶ δ' ὀμόσαντες ὑπὲρ συγκλήτου καὶ δήμου Ῥωμαίων διελύθησαν.*

c. 22 Z. 29: *ταῦτα — εἷς ὑπεξελθὼν σημαιοφόρος ἀπήγγειλε τῷ Οὐιτελλίῳ νυκτὸς ἑστιωμένων πολλῶν παρ' αὐτῷ. τοῦ δὲ λόγου διαπεσόντος εἰς τὰ στρατεύματα πρῶτος*

rapiebat, fauentibus plerisque militum, prona in eum aula Neronis ut similem.

c. 12: literae adferuntur, superioris Germaniae legiones rupta sacramenti reuerentia imperatorem alium flagitare — maturauit ea res consilium Galbae. c. 8: Galliae super memoriam Vindicis obligatae recenti dono Romanae ciuitatis et in posterum tributi leuamento — Germani exercitus — solliciti et irati — abducto Verginio per simulationem amicitiae« quem non remitti atque etiam reum esse tamquam suum crimen accipiebant.

c. 55: inferioris tamen Germaniae legiones sollemni Kalendarum Ianuariarum sacramento pro Galba adactae multa cunctatione — turbidi adeo, ut quidam saxa in Galbae imagines iecerint — at in superiore exercitu — ipso Kalendarum die dirumpunt imagines Galbae — senatus populique Romani obliterata iam nomino sacramento aduocabant.

c. 56: nocte quae Kalendas Ianuarias secuta est — aquilifer — epulanti Vitellio nuntiat. c. 57: proxima legionis primae hiberna erant et promptissimus e legatis Fabius

Φάβιος Οὐάλης, ἡγεμὼν ἑνὸς τάγματος τῇ ὑστεραίᾳ μεθ' ἱππέων συχνῶν ἐλάσας αὐτοκράτορα τὸν Οὐιτέλλιον προσεῖπεν. ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος, τότε δέ φασιν οἴνου διάπλεων καὶ τροφῆς ὄντα μεσημβρινῆς προελθεῖν καὶ ὑπακοῦσαι Γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ Καίσαρος οὐ προσδεξάμενον. εὐθὺς δὲ καὶ τὸ μετὰ Φλάκκου στράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες ὤμοσαν Οὐιτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προστασσόμενον.

Valens. is die proximo coloniam Agrippinensem cum equitibus legionis — ingressus imperatorem Vitellium consalutauit. — scires illum priore biduo non penes rempublicam fuisse. c. 52: quatiebatur his segne ingenium, ut concupisceret magis quam ut speraret. c. 62: torpebat Vitellius — inerti luxu ac prodigis epulis — medio diei temulentus — nomine Germanici Vitellio statim addito: Caesarem se appellari etiam uictor prohibuit. c. 57: et superior exercitus speciosis senatus populique Romani nominibus relictis tertium nonas Ianuarias Vitellio accessit.

c. 23: *οὕτω μὲν ἀνηγορεύθη Οὐιτέλλιος αὐτοκράτωρ ἐν Γερμανίᾳ. πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ Γάλβας οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλλετο. γιγνώσκων δὲ τῶν φίλων ἐνίους μὲν ὑπὲρ Δολοβέλλα τοὺς δὲ πλείστους ὑπὲρ Ὄθωνος ἀρχαιρεσιάζοντας, ὧν οὐδέτερον ἐδοκίμαζεν αὐτός, ἄφνω μηδὲν προειπὼν μετεπέμψατο Πίσωνα Κράσσου καὶ Σκριβωνίας ἔκγονον.* —[1]) *νεανίαν ἐν τῇ πρὸς πᾶσαν*

c. 12: maturauit ea res consilium Galbae.

c. 88: sepositus (ab Othone) Cornelius Dolabella — uetusto nomine et propinquitate Galbae monstratus. c. 13: fauentibus (Othoni) plerisque militum, prona in eum aula Neronis ut similem. c. 14: Galba pauca praefatus de sua senectute, Pisonem Licinianum arcessi iubet. — Piso M. Crasso

[1]) Der Zusatz, dass Nero sie getödtet habe, findet sich nicht bei Tacitus; er ist entweder auf mündliche Tradition oder auf eine jener Nebenquellen Plutarch's zurückzuführen.

ἀρετὴν εὐφυΐα τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα, καὶ κατέβαινεν ἐς τὸ στρατόπεδον ἐκεῖνον ἀποδείξων Καίσαρα καὶ διάδοχον καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημίαι παρηκολούθουν, ἀρξαμένου δὲ τὰ μὲν λέγειν ἐν τῷ στρατοπέδῳ τὰ δ' ἀναγινώσκειν τοσαυτάκις ἐβρόντησε καὶ κατήστραψε, καὶ τοσοῦτος ὄμβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς κατάδηλον εἶναι μὴ προσιέμενον μηδ' ἐπαινοῦν τὸ δαιμόνιον γινομένην οὐκ ἐπ' ἀγαθῷ τὴν εἰσποίησιν. ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκυθρωπὰ μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. τοῦ δὲ Πίσωνος οἱ παρόντες ἐθαύμασαν τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ τὸ τηλικαύτην χάριν ἀνεμπλήκτως οὐ μὴν ἀναισθήτως δεχόμενον· ὥσπερ αὖ τοῦ Ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀπότευξιν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ Γάλβα πρὸς αὐτόν. ὅθεν οὐδ' ἄφοβος ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν Πίσωνα δε-

et Scribonia genitus, nobilis utrimque, uoltu habituque moris antiqui. — c. 16: et Galba quidem haec ac talia tamquam principem faceret. c. 17: iri in castra placuit. c. 18: quartum Idus Ianuarias foedum imbribus diem tonitrua et fulgura et caelestes minae ultra solitum turbauerant. obseruatum id antiquitus comitiis dirimendis non terruit Galbam, quominus in castra pergeret, contemptorem talium ut fortuitorum.

c. 18: nec ullum orationi aut lenocinium addit aut pretium. — per ceteros maestitia et silentium.

c. 17: Pisonem ferunt statim intuentibus — nullum turbati aut exsultantis animi motum prodidisse.

c. 21: Interea Othonem — multa simul exstimulabant — in Galbam ira, in Pisonem inuidia; fingebat et metum — proinde agendum audendumque dum Galbae auctoritas fluxa, Pisonis nondum coaluisset.

διώς καὶ τὸν Γάλβαν προβαλλόμενος καὶ τῷ Οὐινίῳ χαλεπαίνων ἀπῄει πολλῶν παθῶν πλήρης. οὐδὲ γὰρ τὸ ἐλπίζον ἐκλιπεῖν οὐδ' ἀπαγορεῦσαι παντάπασιν εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ Χαλδαῖοι, εἰς τὰ μάλιστα δὲ Πτολεμαῖος ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις ὡς οὐκ ἀποκτενεῖ Νέρων αὐτὸν ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περιέσται καὶ ἄρξει Ῥωμαίων (ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν) οὐχ ἥκιστα δ' οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστένοντες ὡς ἀχάριστα πεπονθότι. πλεῖστοι δὲ τῶν περὶ Τιγελλῖνον καὶ Νυμφίδιον ἐν τιμῇ γεγονότων ἀπεῤῥιμμένοι τότε καὶ ταπεινὰ πράττοντες ἐφθείροντο πρὸς αὐτὸν καὶ συνηγανάκτουν καὶ παρώξυνον.

c. 24: ἐν δὲ τούτοις Οὐετούριος καὶ Βάρβιος, ὁ μὲν ὀπτίων ὁ δὲ τεσσεράριος· οὕτω γὰρ καλοῦνται οἱ διαγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες. μεθ' ὧν Ὄθωνος ἀπελεύθερος Ὀνομαστὸς ἐπιφοιτῶν τοὺς μὲν ἀργυρίῳ τοὺς δ' ἐλπίσι διέφθειρεν ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. — ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι Ῥωμαῖοι πρὸ δεκαοκτὼ

c. 22: urguentibus etiam mathematicis — e quibus Ptolemaeus Othoni in Hispaniam comes, cum superfuturum eum Neroni promisisset, postquam ex euentu fides, coniectura iam et rumore senium Galbae et iuuentam Othonis computantium persuaserat fore ut in imperium adscisceretur. sed Otho tamquam peritia et monitu fatorum praedicta accipiebat.

c. 22: et intimi libertorum seruorumque — si auderet ut sua ostentantes, quiescenti ut aliena exprobrabant.

c. 24: faces addiderat Maeuius Pudens e proximis Tigellini.

c. 25: Barbium Proculum tesserarium speculatorum et Veturium optionem eorundem perductos.

c. 25: sed tum e libertis Onomastum futuro sceleri praefecit — pretio et promissis onerat data pecunia ad pertemptandos plurium animos.

c. 27: octavo decimo Kalendas Februarias

καλανδῶν Φεβρουαρίων. ἐκείνῃ γὰρ ἕωθεν[1]) εὐθὺς ὁ μὲν Γάλβας ἔθυεν ἐν Παλατίῳ τῶν φίλων παρόντων, ὁ δὲ θύτης Ὀμβρίκιος ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα καὶ προςιδεῖν οὐ δι' αἰνιγμῶν ἀλλ' ἄντικρυς ἔφη σημεῖα μεγάλης ταραχῆς καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι, μόνον οὐχὶ τὸν Ὄθωνα τοῦ θεοῦ χειρὶ ληπτὸν παραδιδόντος. παρῆν γὰρ ὄπισθεν τοῦ Γάλβα καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ Ὀμβρικίου. θορυβουμένῳ δ' αὐτῷ καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους[2]) παραστὰς Ὀνομαστὸς ἀπελεύθερος ἥκειν ἔφη καὶ περιμένειν αὐτὸν οἴκοι τοὺς ἀρχιτέκτονας. ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν Ὄθωνα τοῖς στρατιώταις. εἰπὼν οὖν ὅτι παλαιὰν ἐωνημένος οἰκίαν βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε, καὶ διὰ τῆς τοῦ Τιβηρίου καλουμένης οἰκίας καταβὰς ἐβάδιζεν εἰς ἀγορὰν οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς Ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν.

pro aede Apollinis Galbae haruspex Umbricius

tristia exta et instantes insidias ac domesticum hostem praedicit

audiente Othone (nam proximus adstiterat)

idque ut laetum e contrario et suis cogitationibus prosperum interpretante nec multo post libertus Onomastus nuntiat expectari eum ab architecto et redemptoribus, quae significatio coeuntium iam militum et paratae coniurationis conuenerat. Otho causam digressus requirentibus, cum emi sibi praedia uetustate suspecta eoque prius exploranda finxisset, innixus liberto per Tiberianam domum in Velabrum, inde ad miliarium aureum sub aedem Saturni pergit.

[1]) Ueber diesen Zusatz ist oben gesprochen worden.

[2]) Man vergleiche oben über diese Stelle.

c. 25: *ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορά φασι μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. διὸ καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν καὶ θηλύτητα τῇ ψυχῇ διατεθρυμμένος, ἀλλ' ἰταμὸς ὢν πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον ἐκέλευον αἴρεσθαι, παραφθεγγομένου πολλάκις ἀπολωλέναι καὶ τοὺς φορειαφόρους ἐπιταχύνοντος*[1]) · *ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. φερομένῳ δὲ οὕτω διὰ ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι καὶ πάλιν κατὰ τρεῖς καὶ τέσσαρας ἄλλοι προσεπέλαζον. εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι Καίσαρα καὶ γυμνὰ τὰ ξίφη προισχόμενοι. τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου Μαρτιάλιος, ὥς φασί, μὴ συνειδώς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς ἐφῆκεν εἰσελθεῖν. γενομένῳ δ' ἐντὸς οὐδεὶς ἀντέπεσεν· οἱ γὰρ ἀγνοοῦντες τὰ*

c. 27: ibi tres et uiginti speculatores consalutatum imperatorem

c. 22: Non erat Othonis mollis et corpori similis animus.

c. 27: ac paucitate salutantium trepidum et sellae festinanter impositum strictis mucronibus rapiunt;

totidem ferme milites in itinere adgregantur, alii conscientia, plerique miraculo, pars clamore et gaudiis, pars silentio, animum ex euentu sumpturi.

c. 28: stationem in castris agebat Iulius Martialis tribunus. is magnitudine subiti sceleris, an corrupta latius castra et si contra tenderet, exitium metuens, praebuit plerisque suspicionem conscientiae; ante-

[1]) Dies ist eine blosse Redensart, welche Plutarch als Mittel der Malerei anwendet.

πραττόμενα τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι καθ' ἕνα καὶ δύο σποράδες ὑπὸ δέους τὸ πρῶτον εἶτα πεισθέντες ἐπηκολούθησαν.

posuere ceteri quoque tribuni centurionesque praesentia dubiis et honestis, isque habitus animorum fuit, ut pessimum facinus auderent pauci, plures uellent, omnes paterentur.

εἰς δὲ τὸ Παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ Γάλβᾳ παρόντος ἔτι τοῦ θύτου καὶ τῶν ἱερῶν ἐν χερσὶν ὄντων, ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀτενῶς ἔχοντας ἐκπλήττεσθαι καὶ θαυμάζειν το θεῖον· ὄχλου δὲ παντοδαποῦ συῤῥέοντος ἐξ ἀγορᾶς —[1]) ὁ δὲ Πίσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε.

c. 29: ignarus interim Galba et sacris intentus fatigabat alieni iam imperii deos, cum adfertur rumor rapi in castra incertum quem senatorem, mox Othonem esse qui raperetur, simul ex tota urbe, ut quisque obuius fuerat, alii formidine augentes quidam minora uero — Piso pro gradibus domus uocatos in hunc modum adlocutus est.

τοῦ δ' Ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι Οὐιψανίᾳ στρατοπεδεύοντος ἀπεστάλη Μάριος Κέλσος ἀνὴρ ἀγαθὸς προκαταληψόμενος.

c. 31: missus et Celsus Marius ad electos Illyrici exercitus Vipsania in porticu tendentes.

c. 26: *Βουλευομένου δὲ τοῦ Γάλβα προελθεῖν καὶ Οὐινίου οὐκ ἐῶντος, Κελσοῦ δὲ καὶ Λάκωνος παρορμώντων καὶ σφοδρότερον τοῦ Οὐινίου καθαπτομένων*

c. 32: Interim Galbam duae sententiae distinebant: Titus Vinius manendum intra domum. c. 33: festinandum ceteris uidebatur — repugnantem huic sententiae Vinium Laco minaciter inuasit, stimulante Icelo.

θροῦς διῆλθε πολὺς ὡς ἀνῃρημένου τοῦ Ὄθωνος ἐν τῷ

c. 34: occisum in castris uagus primum et incertus rumor.

[1]) Der Bericht, dass Vinius und Laco die Schwerter zum Schutze Galba's gezogen hätten. Es ist oben schon bemerkt worden, dass wir hier wahrscheinlich nur eine Coloratur Plutarch's vor uns haben.

στρατοπέδῳ· καὶ μετὰ μικρὸν ὤφθη Ἰούλιος Ἀττικὸς τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος γυμνῷ τῷ ξίφει προσφερόμενος καὶ βοῶν ἀνῃρηκέναι τὸν Καίσαρος πολέμιον. ὠσάμενος δὲ διὰ τῶν προεστώτων ἔδειξε τῷ Γάλβᾳ τὸ ξίφος ᾑμαγμένον. ὁ δὲ βλέψας πρὸς αὐτὸν· τίς σε, εἶπεν, ἐκέλευσε; τοῦ δὲ ἀνθρώπου τὴν πίστιν εἰπόντος καὶ τὸν ὅρκον ὃν ὤμοσε καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ κροτοῦντος[1]), ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο τῷ τε Διὶ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. ἐμβαλόντος δ' εἰς τὴν ἀγορὰν ὥσπερ τροπαία πνεύματος ἀπήντησε φήμη κρατεῖν τὸν Ὄθωνα τοῦ στρατεύματος. οἷα δ' ἐν πλήθει τοσούτῳ τῶν μὲν ἀναστρέφειν τῶν δὲ προιέναι τῶν δὲ θαῤῥεῖν τῶν δ' ἀπιστεῖν[2]) βοώντων καὶ τοῦ φορείου καθάπερ ἐν κλύδωνι δεῦρο κἀκεῖ διαφερομένου καὶ πυκνὸν ἀπονεύοντος, ἐφαίνοντο πρῶτον ἱππεῖς εἶτα ὁπλῖται —[3]) μιᾷ φωνῇ μέγα βοῶντες ἐκποδὼν

c. 35: obuius in Palatio Iulius Atticus speculator, cruentum gladium ostentans, occisum a se Othonem exclamauit;

et Galba: commilito, inquit, quis iussit?

c. 39: iam exterritus Piso — egressum interim Galbam et foro adpropinquantem adsecutus erat; iam Marius Celsus haud laeta rettulerat,

cum alii in Palatium rediret alii Capitolium peteret — censerent.

c. 40: agebatur huc illuc Galba uario turbae fluctuantis inpulsu

c. 40: igitur milites Romani — disiecta plebe proculcato

1) Blosse rhetorische Ausschmückung.

2) Die beiden letzten Ermahnungen sind reine Erfindungen und Wahrscheinlichkeitsschlüsse Plutarch's.

3) διὰ τῆς Παύλου βασιλικῆς προσφερόμενοι, man vergleiche, was oben darüber gesagt ist.

ἵστασθαι τὸν ἰδιώτην. τῶν μὲν οὖν πολλῶν δρόμος ἦν, οὐ φυγῇ σκιδναμένων, ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς ὥσπερ θέαν καταλαμβανόντων. Ἀτιλίου δὲ Οὐεργιλίωνος εἰκόνα Γάλβα προσουδίσαντος ἀρχὴν τοῦ πολέμου ποιησάμενοι περιηκόντισαν τὸ φορεῖον, ὡς δ' οὐκ ἔτυχον αὐτοῦ, προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν.

senatu truces armis rapidi equis forum inrumpunt.

nec illos Capitolii adspectus et imminentium templorum religio — terruere.

c. 41: uexillarius comitatae Galbam cohortis (Atilium Vergilionem fuisse tradunt) dereptam Galbae imaginem solo adflixit: eo signo manifesta in Othonem omnium militum studia — destricta aduersus dubitantes tela.

ἤμυνε δ' οὐδεὶς οὐδ' ὑπέστη πλὴν ἑνὸς ἀνδρός, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς Ῥωμαίων ἡγεμονίας. Σεμπρώνιος ἦν Δῆνσος ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ Γάλβα πεπονθώς τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν προέστη τοῦ φορείου. καὶ τὸ κλῆμα πρῶτον ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους ἐπαράμενος τοῖς ἐπιφερομένοις ἐβόα καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος· ἔπειτα συμπλεκομένων αὐτῷ σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσεν.[1])

c. 43: insignem illa die uirum Sempronium Densum aetas nostra uidit. centurio is praetoriae cohortis, a Galba custodiae Pisonis additus

stricto pugione occurrens armatis et scelus exprobrans ac modo manu modo uoce uertendo in se percussores quamquam uolnerato Pisoni effugium dedit.

c. 42: (Vinius) iacuit primo ictu in poplitem.

---

[1]) Die Geschichte der Vertheidigung Piso's durch Sempronius Densus ist durch die Nachlässigkeit Plntarch's an die falsche Stelle gekommen; und

c. 27: *Τὸν δὲ Γάλβαν ἀποκλιθέντος τοῦ φορείου περὶ τὸν Κουρτίου καλούμενον λάκκον ἐκκυλισθέντα τεθωρακισμένον ἔτυπτον ἐπιδραμόντες. ὁ δὲ τὴν σφαγὴν προτείνας „δρᾶτε, εἶπεν, εἰ τοῦτο τῷ δήμῳ Ῥωμαίων ἄμεινον ἐστίν.“ πολλὰς μὲν οὖν ἔλαβε πλήγας εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας*

ἀπέσφαξε δ' αὐτὸν ὡς οἱ πλεῖστοι λέγουσι, Καμούριός τις ἐκ τοῦ πεντεκαιδεκάτου τάγματος. ἔνιοι δὲ Τερέντιον οἱ δὲ Λεκάνιον ἱστοροῦσιν —[1])

περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα πρεσβύτου πρόσωπον ἄρχοντός τε κοσμίου καὶ ἀρχιερέως καὶ ὑπάτου δρόμῳ χωρεῖν ὥσπερ αἱ βάκχαι, πολλάκις μεταστρεφόμενον καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταῤῥεομένην. —[2]) *μετ' ὀλίγον δ' ἧκε (Πίσωνος κεφαλὴ) κομιζομένη·*

c. 41: iuxta Curtii lacum trepidatione ferentium Galba proiectus e sella ac prouolutus est. extremam eius uocem — uarie prodidere —

plures obtulisse ultro percussoribus ingulum: agerent et ferirent, si ita e republica uideretur. — ceteri crura brachiaque (nam pectus tegebatur) foede laniauere —

de percussore non satis constat: quidam Terentium euocatum, alii Lecanium; crebrior fama tradidit Camurium quintae decumae legionis militem impresso gladio iugulum eius hausisse.

c. 44: praefixa contis capita gestabantur inter signa cohortium.

c. 45: ruere cuncti in castra, anteire proximos — increpare Galbam.

c. 44: nullam caedem (quam Pisonis) Otho maiore laetitia excepisse, nullum caput tam insatiabilibus oculis perlustrasse dicitur.

---

auch die letzten Worte über die Verwundung des Densus in die Kniekehle scheint einfach aus dem Bericht über die gleiche Verwundung des Vinius entstanden zu sein, indem Plutarch das am Ende des c. 42 Gesagte zu der Geschichte des c. 43 gezogen hat.

[1]) *οἱ δὲ Φάβιον Φάβουλον — τὴν ἀνδραγαθίαν*; man vergleiche, was oben darüber gesagt ist.

[2]) *τὸν δ' Ὄθωνα τῆς κεφαλῆς — κεφαλὴν δείξατε*; darüber siehe oben.

τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος καὶ καταδιωχθεὶς ὑπὸ Μούρκου τινὸς ἀπεσφάγη πρὸς τῷ ἱερῷ τῆς Ἑστίας.

c. 43: Piso in aedem Vestae peruasit — et Statius Murcus speculator, a quibus protractus Piso in foribus templi trucidatus est.

ἀπεσφάττετο δὲ καὶ Οὐίνιος ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν Γάλβαν συνωμοσίας· ἐβόα γὰρ ἀποθνήσκειν παρὰ τὴν Ὄθωνος γνώμην.

c. 42: Titum inde Vinium inuasere — an proclamauerit, non esse ab Othone mandatum ut occideretur, — conscientiam coniurationis confessus est.

ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ Λάκωνος ἐκόμισαν πρὸς τὸν Ὄθωνα δωρεὰς αἰτοῦντες. —[1]

c. 44: praefixa contis capita — — — — — — — praemia exposcentium — —

οὕτω τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο καὶ δωρεὰς ᾔτουν βιβλία διδόντες τῷ Ὄθωνι· εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματείων, οὓς ὁ Οὐιτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν.

certatim ostentantibus cruentas manus qui occiderant, qui interfuerant, qui uere qui falso — facinus iactabant. plures quam centum uiginti libellos praemium exposcentium — Vitellius postea inuenit, omnesque conquiri et interfici iussit.

ἧκε δὲ καὶ Μάριος Κέλσος εἰς τὴν παρεμβολὴν καὶ πολλῶν αὐτοῦ κατηγορούντων ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ Γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύειν βοῶντος Ὄθων οὐκ ἐβούλετο. φοβούμενος δ' ἀντιλέγειν οὐχ οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτόν. εἶναι γὰρ ἃ δεῖ πρότερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός·

c. 45: Marium Celsum — ad supplicium expostulabant industriae eius innocentiaeque quasi malis artibus infensi — Othoni nondum auctoritas inerat ad prohibendum scelus: iubere iam poterat. ita simulatione irae uinciri iussum et maiores poenas daturum adfirmans praesenti exitio subtraxit.

[1] Ein Citat aus Archilochos.

ἐκέλευσεν οὖν δήσαντας φυλάττειν καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις.

c. 28: *εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. καὶ καθάπερ ἄλλοι γεγονότες ἢ θεῶν ἄλλων γεγονότων συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ Ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε, καὶ Καίσαρα καὶ Σεβαστὸν ἀνηγόρευεν ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐῤῥιμμένων ἐπὶ τῆς ἀγορᾶς. ταῖς δὲ κεφαλαῖς ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι τὴν μὲν Οὐινίου τῇ θυγατρὶ* — —[1] *ἀπέδοντο, τὴν δὲ Πίσωνος ἡ γυνὴ ἔλαβεν Οὐηρανία δεηθεῖσα, τὴν δὲ Γάλβα τοῖς Πατροβίου δούλοις ἐδωρήσαντο. λαβόντες δ' ἐκεῖνοι καὶ πάντα τρόπον αἰκισάμενοι καὶ καθυβρίσαντες ἔῤῥιψαν ἢ τοὺς ὑπὸ τῶν Καισάρων κολαζομένους θανατοῦσιν·* — —[2] *τὸ δὲ σῶμα τοῦ Γάλβα* — —[3] *ἔθαψε δὲ νυκτὸς Ἀργεῖος ἀπελεύθερος.*

c. 47: uocat senatum praetor urbanus. c. 45: alium crederes senatum alium populum. c. 47: certant adulationibus ceteri magistratus, adcurrunt patres; decernitur Othoni tribunicia potestas et nomen Augusti et omnes principum honores — Otho cruento adhuc foro per stragem iacentium in Capitolium — uectus — quaesitis redemptisque capitibus, quae uenalia interfectores seruauerant. — Pisonem Verania uxor — Titum Vinium Crispina filia composuere. c. 49: (Galbae) caput per lixas calonesque suffixum laceratumque ante Patrobii tumulum (libertus is Neronis punitus a Galba fuerat) postera demum die repertum et cremato iam corpori admixtum. — Galbae corpus — licentia tenebrarum dispensator Argius e primoribus seruis humili sepultura in priuatis eius hortis contexit. —

[1] *διαχιλίων καὶ πεντακοσίων δραχμῶν;* darüber siehe oben.

[2] *ὁ δὲ τόπος Σεσσώριον καλεῖται;* man vergleiche, was oben darüber gesagt ist.

[3] *Πρίσκος Ἑλουΐδιος ἀνείλετο τοῦ Ὄθωνος ἐπιτρέψαντος;* oben ist hierüber gesprochen worden.

c. 29: *Τοιαῦτα τὰ κατὰ τὸν Γάλβα, ἄνδρα μήτε γένει μήτε πλούτῳ πολλῶν ἀπολειφθέντα Ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα πάντων τῶν καθ' αὑτόν, πέντε αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης* — — — — — — —[1] *Οὐινίῳ δὲ καὶ Λάκωνι καὶ τοῖς ἀπελευθέροις πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν οἷον Νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις* —[1]).

hunc exitum habuit Seruius Galba — uetus in familia nobilitas, magnae opes —

quinque principes prospera fortuna emensus et alieno imperio felicior quam suo — — — — — — — — —

amicorum libertorum que, ubi in bonos incidisset, sine reprehensione patiens, si mali forent, usque ad culpam ignarus..

Plutarch's Otho.

c. 1: *ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ Καπιτώλιον ἔθυσε, καὶ κελεύσας Μάριον Κέλσον ἀχθῆναι πρὸς αὐτὸν ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον ἢ τῆς ἀφέσεως μνημονεύειν. τοῦ δὲ Κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτὸ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν (ἐγκεκλῆσθαι γὰρ ὅτι Γάλβᾳ βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν*

h. 1. c. 47: Otho — in Capitolium — uectus. c. 71: Marium Celsum consulem designatum — acciri in Capitolium iubet; clementiae titulus e uiro claro et partibus inuiso petebatur. Celsus constanter seruatae erga Galbam fidei crimen confessus, exemplum ultro imputauit. nec Otho quasi ignosceret, sed duos testes mutuae reconciliationis adhibens, statim inter intimos amicos habuit. — laeta primoribus ciuitatis, celebrata in

---

[1]) Enthält eine blosse Reflexion Plutarch's, wie dieses ganze Capitel eine Rückschau auf das Leben und die Regierung Galba's ist.

οὐδεμίαν ὤφειλεν) ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων καὶ τὸ στρατιωτικὸν ἐπῄνεσεν. ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς

ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἤμελλε τούτου μέρος ἔνειμεν Οὐεργινίῳ Ῥούφῳ, τοῖς δ' ἀποδεδειγμένοις ὑπὸ Νέρωνος ἢ Γάλβα πᾶσιν ἐτήρησε τὰς ὑπατείας. ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας ἢ δόξαν ἐκόσμησε. τοῖς δ' ἐπὶ Νέρωνος φυγοῦσι καὶ κατελθοῦσι ἐπὶ Γάλβα συγκλητικοῖς πᾶσιν ἀπέδωκεν ὅσα μὴ πεπραμένα τῶν κτημάτων ἑκάστου ἐξεύρισκεν. ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον ὡς οὐκ ἀνδρὸς ἀλλά τινος ἢ Ποινῆς ἢ παλαμναίου δαίμονος ἄφνω τοῖς πράγμασι ἐπιπεπτωκότος, ἡδίους ἐγένοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν ὥσπερ διαμειδιῶσαν.

c. 2: ὁμοῦ δὲ Ῥωμαίους πάντας οὐδὲν εὔφρανεν οὕτως οὐδ' ᾠκειώσατο πρὸς αὐτὸν ὡς τὰ περὶ Τιγελλῖνον. ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον

uolgus Celsi salus ne militibus quidem ingrata fuit, eandem uirtutem admirantibus cui irascebantur. c. 71: Otho interim contra spem omnium non — torpescere — cuncta ad decorem imperii composita. c. 77: Otho ut in multa pace munia imperii obibat, quaedam ex dignitate imperii — consul cum Titiano fratre in Kalendas Martias ipse; proximos menses Verginio destinat — ceteri consulatus ex destinatione Neronis aut Galbae mansere — sed Otho pontificatus auguratusque honoratis iam senibus cumulum dignitatis addidit, aut recens ab exilio reuersos nobiles adulescentulos auitis ac paternis sacerdotiis in solatium recoluit. c. 90: reliquias Neronianarum sectionum nondum in fiscum conuersas reuocatis ab exilio concessit. c. 71: laeta primoribus ciuitatis — dilatae uoluptates, dissimulata luxuria et cuncta ad decorem imperii composita.

c. 72: par inde exsultatio — consecuta impetrato Tigellini exitio —

ἡ πόλις[1]), καὶ νοσήμασιν ἀνηκέστοις σώματος, αὐτὰς δὲ τὰς ἀνοσίους καὶ ἀῤῥήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, αἷς ἔτι προσέσπαιρε δυσθανατοῦντος αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντάξια θανάτων οἱ σωφρονοῦντες· ἠνία δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας[2]). ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ Ὄθων εἰς τοὺς περὶ Σινόεσσαν ἀγρούς· ἐκεῖ γὰρ διῃτᾶτο πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω[3]). —[4]) καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν.

impudica senecta — uirilia scelera — inter stupra concubinarum et oscula —

uitiis adeptus crudelitatem mox, deinde auaritiam — exercuit.

— donec Tigellinus acceptae apud Sinuessanas aquas supremae necessitatis nuntio inter stupra concubinarum et oscula et deformes moras sectis nouacula faucibus infamem uitam foedauit etiam exitu sero et inhonesto.

c. 3: οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς ὁ Καῖσαρ αὐτὸς τὰς ἰδίας ἔχθρας οὐδενὶ τὸ παράπαν ἐμνησικάκησε, τοῖς δὲ πολλοῖς χαριζόμενος οὐκ ἔφευγε τὸ πρῶτον ἐν τοῖς θεάτροις Νέρων προσαγορεύεσθαι, καὶ

c. 47: omisisset offensas an distulisset, breuitate imperii in incerto fuit.

c. 78: fuere qui imagines Neronis proponerent; atque etiam Othoni quibusdam diebus populus et miles, tanquam

---

[1]) Eine blosse Ausschmückung Plutarch's.

[2]) Eine Reflexion Plutarch's.

[3]) Dieser Zusatz scheint auf einem Verkennen des lateinischen „Sinuess. aquas" zu beruhen, indem Plutarch es auf das benachbarte Meer bezog und daraus obige Bemerkung als Schluss zog.

[4]) Man vergleiche, was oben über diese Stelle gesagt ist.

τινῶν εἰκόνας Νέρωνος εἰς τοὐμφανὲς προθεμένων οὐκ ἐκώλυσε. — —[1])

τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν αὐτῷ λαμβανούσης οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτούς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ κολούειν τοὺς ἀξιολόγους, εἴτ' ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. Κρισπῖνον δὲ πέμψαντος αὐτοῦ τὴν ἑπτακαιδεκάτην σπεῖραν Ὠστίας ἀπάξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ θρασύτατοι πάντες ἐβόων οὐδὲν ὑγιὲς τὸν Κρισπῖνον ἥκειν διανοούμενον, ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις καὶ τὰ ὅπλα κατὰ Καίσαρος, οὐ Καίσαρι παρακομίζεσθαι. τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος οἱ μὲν ἐπελαμβάνοντο τῶν ἁμαξῶν, οἱ δὲ τοὺς ἐνισταμένους ἑκατοντάρχας δυὸ καὶ τὸν Κρισπῖνον αὐτὸν ἀπέκτειναν, πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους Καίσαρι βοηθεῖν ἤλαυνον εἰς τὴν Ῥώ-

nobilitatem ac decus adstruerent, Neroni Othoni adclamauit. ipse in suspenso tenuit.

c. 80: paruo interim initio, unde nihil timebatur, orta seditio prope urbi excidio fuit.

septumam decumam cohortem e colonia Ostiensi in urbem acciri Otho iusserat; armandae eius cura Vario Crispino tribuno e praetorianis data. is quo magis uacuus quietis castris iussa exequeretur, uehicula cohortis incipiente nocte onerari aperto armamentario iubet. tempus in suspicionem causa in crimen adfectatio quietis in tumultum eualuit, et uisa inter temulentos arma cupidinem sui mouere. fremit miles et tribunos centurionesque proditionis arguit, tamquam familiae senatorum ad perniciem Othonis armarentur, pars ignari et uino graues. — resistentem seditioni tribunum et seuerissimos centurionum obtruncant; rapta arma, nudati gladii; insidentes equis urbem et Palatium petunt.

[1]) Das bekannte Citat aus Cluvius Rufus.

μην. καὶ πυθόμενοι παρ' αὐτῷ δειπνεῖν —[1]) συγκλητικοὺς ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες ἐν ταὐτῷ πάντας ἀνελεῖν τοὺς Καίσαρος πολεμίους· ἡ μὲν οὖν πόλις ὡς αὐτίκα διαρπαγησομένη θόρυβον εἶχε πολύν, ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρομαί, καὶ τὸν Ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία· φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν αὐτὸς ἦν φοβερὸς ἐκείνοις, καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. ἅμα δὲ τοὺς ἐπάρχους ἀπέστελλε τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας καθ' ἑτέρας θύρας ἀφῆκε· καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων ὠθουμένων εἰς τὸν ἀνδρῶνα καὶ πυνθανομένων τί γεγόνασιν οἱ Καίσαρος πολέμιοι. τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας καὶ δεηθεὶς καὶ μηδὲ δακρύων φεισάμενος μόλις ἀπέπεμψεν αὐτούς. τῇ δ' ὑστεραίᾳ δωρησάμενος ἅπαντας κατ' ἄνδρα χι-

c. 81: Erat Othoni celebre conuiuium primoribus feminis uirisque;

c. 82: undique arma et minae — lymphatis caeco pauore animis.

c. 81: qui trepidi, fortuitusne militum furor — manere ac deprehendi an fugere ac dispergi, modo formidine detegi, simul Othonis uoltum intueri; utque euenit inclinatis ad suspicionem mentibus, cum timeret Otho, timebatur —

praefectos praetorii ad mitigandas militum iras statim miserat

et abire propere omnes e conuiuio iussit.

tum uero passim magistratus — per tenebras diuersa urbis itinera — incertas latebras petiuere.

c. 82: donec Otho — toro insistens precibus et lacrimis aegre cohibuit, redieruntque in castra —

postera die — quina milia nummum singulis militibus

[1]) ὀγδοήκοντα; über den Zusatz vergleiche, was oben gesagt ist.

λίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς εἰσῆλθεν ἐς τὸ στρατόπεδον, καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ' ἀγαθῷ φήσας ὑποικουρεῖν διαβάλλοντας αὐτοῦ τὴν μετριότητα καὶ τὴν ἐκείνων εὐστάθειαν, ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. ἐπαινούντων δὲ πάντων καὶ κελευόντων δύο μόνους παραλαβών, — —[1]) ἀπηλλάγη.

c. 4: ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ πιστεύοντες ἐθαύμαζον τὴν μεταβολὴν[2]), οἱ δ' ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο δημαγωγοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. ἤδη γὰρ ἠγγέλλετο βεβαίως Οὐιτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτοκράτορος ἀνειληφώς, καὶ πτεροφόροι συνεχῶς ἐφοίτων ἀεί τι προσχωρεῖν ἐκείνῳ φράζοντες. ἕτεροι τὰ Παννονικὰ καὶ τὰ Δαλματικὰ καὶ τὰ περὶ Μυσίαν στρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγεμόνων Ὄθωνα. ταχὺ δ' ἀφίκετο καὶ παρὰ Μουκιανοῦ γράμματα καὶ παρὰ Οὐεσπασιανοῦ φίλια, τοῦ μὲν ἐν

numerarentur: tum Otho ingredi castra ausus.

c. 83: ueni postulaturus a uobis — erga me modum caritatis.

c. 84: paucorum culpa fuit duorum poena erit.

c. 85: et oratio — et seueritatis modus (neqûe enim in plures quam in duos animaduerti iusserat) grate accepta.

c. 71: cuncta ad decorem imperii composita; eoque plus formidinis adferebant falsae uirtutes et uitia reditura.

c. 50: trepidam urbem — nouus insuper de Vitellio nuntius exterruit.

c. 76: primus Othoni fiduciam addidit ex Illyrico nuntius, iurasse in eum Delmatiae ac Pannoniae et Mysiae legiones — Iudaeorum exercitum Vespasianus, Suriae legiones Mucianus sacramento Othonis adegere.

[1]) οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολασθεῖσιν, oben ist schon hierüber gesprochen worden.

[2]) Dieser Satz ist eine müssige Wiederholung des am Ende von cap. 1 Gesagten.

Συρίᾳ τοῦ δ' ἐν Ἰουδαίᾳ μεγάλας δυνάμεις ἐχόντων. ὑφ' ὧν ἐπαιρόμενος ἔγραψεν Οὐιτελλίῳ παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον καὶ ἥδιστον βίον μεθ' ἡσυχίας. ἀντέγραψε δὲ κἀκεῖνος κατειρωνευόμενος ἡσυχῇ πρῶτον. ἐκ δὲ τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ ψευδῶς μὲν ἀνοήτως δὲ καὶ γελοίως θατέρου τὸν ἕτερον ἃ προσῆν ἀμφοτέροις ὀνείδη λοιδοροῦντος· ἀσωτίας γὰρ καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ χρεῶν πλήθους ἔργον ἦν εἰπεῖν ὁποτέρῳ μείων αὐτῶν μέτεστι.

σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ Καπιτωλίῳ Νίκης ἐφεστώσης ἅρματι τὰς ἡνίας πάντες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν ὥσπερ κρατεῖν μὴ δυναμένης, καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ Γαΐου Καίσαρος ἀνδριάντα μήτε σεισμοῦ γεγονότος μήτε πνεύματας ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς τὰς ἀνατολάς· ὅ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας ἐν αἷς οἱ περὶ

c. 74: crebrae interim et muliebribus blandimentis infectae ab Othone ad Vitellium epistulae offerebant pecuniam et gratiam et quemcunque quietis locum prodigae uitae legisset.

paria Vitellius ostentabat primo mollius —

mox quasi rixantes stupra et flagitia inuicem obiectauere

neuter falso.

c. 50: tum duos omnium mortalium inpudicitia ignauia luxuria deterrimos — palam maerere — utrasque impias preces, utraque detestanda uota inter duos, quorum bello solum id scires, deteriorem fore qui uicisset.

c. 86: prodigia insuper terrebant diuersis auctoribus uolgata

in uestibulo Capitolii omissas habenas bigae, cui Victoria institerat —

statuam diui Iulii in insula Tiberini amnis sereno et immoto die ab occidente in orientem conuersam.

c. 50: erant qui Vespasianum et arma orientis augurarentur.

Οὐεσπασιανὸν ἐμφανῶς ἤδη τῶν πραγμάτων ἀντελαμβάνοντο. καὶ τὸ περὶ τὸν Θύμβριν δὲ σύμπτωμα σημεῖον ἐποιοῦντο οἱ πολλοὶ μοχθηρόν. ἦν μὲν γὰρ ὥρα περὶ ἣν μάλιστα οἱ ποταμοὶ πλήθουσιν, ἀλλ' οὔπω τοσοῦτος ἤρθη πρότερον οὐδ' ἀπώλεσε τοσαῦτα καὶ διέφθειρεν ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως, πλεῖστον δ' ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.

c. 86: sed praecipuus et cum praesenti exitio etiam futuri pauor subita inundatione Tiberis, qui immenso auctu proruto ponte sublicio ac strage obstantis molis refusus, non modo iacentia et plana urbis loca sed secura eius modi casuum impleuit — fames in uolgus, inopia, quaestus et penuria alimentorum.

c. 5: *ἐπεὶ δὲ τὰς Ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο Καικίνας καὶ Οὐάλης Οὐιτελλίῳ στρατηγοῦντες, ἐν Ῥώμῃ Δολαβέλλας εὐπατρίδης ἀνὴρ ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. ἐκεῖνον μὲν οὖν, εἴτ' αὐτὸν εἴτ' ἄλλον δεδοικώς, εἰς πόλιν Ἀκύνιον παρέπεμψε παραθαῤῥύνας, καταλέγων δὲ τῶν ἐν τέλει συνεκδήμους ἔταξεν ἐν τούτοις καὶ Λεύκιον τὸν Οὐιτελλίου ἀδελφόν, οὔτε προσθεὶς οὐδὲν οὔτ' ἀφελὼν ἧς εἶχε τιμῆς. ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ Οὐιτελλίου καὶ τῆς γυναικός, ὅπως μηδὲν φοβήσονται περὶ αὐτῶν.*

c. 66: (a Valente) sic ad Alpes peruentum. — c. 70: (Caecina) graue legionum agmen hibernis adhuc Alpibus transduxit. c. 88: sepositus per eos dies Cornelius Dolabella in coloniam Aquinatem — vetusto nomine et propinquitate Galbae monstratus.

multos e magistratibus — Otho — comitum specie secum expedire iubet, in quis et Lucium Vitellium eodem quo ceteros cultu nec ut imperatoris fratrem nec ut hostis. c. 75: Vitellius literas ad Titianum fratrem Othonis composuit, exitium — minitans, ni incolumes sibi mater ac liberi seruarentur. et stetit domus utra-

que, sub Othone incertum an metu.

τῆς δὲ Ῥώμης φύλακα Φλάουιον Σαβῖνον ἀδελφὸν Οὐεσπασιανοῦ κατέστησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ Νέρωνος (παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν ὁ Σαβῖνος, ἀφείλετο δὲ Γάλβας αὐτόν), εἴτε μᾶλλον εὔνοιαν ἐνεδείκνυτο Οὐεσπασιανῷ καὶ πίστιν αὔξων Σαβῖνον.[1])

c. 46: urbi Flauium Sabinum praefecere, iudicium Neronis secuti, sub quo eandem curam obtinuerat,

plerisque Vespasianum fratrem in eo respicientibus.

αὐτὸς μὲν οὖν ἐν Βριξίλλῳ, πόλει τῆς Ἰταλίας περὶ τὸν Ἠριδανὸν ἀπελείφθη[2]) στρατηγοὺς δὲ τῶν δυνάμεων ἐξέπεμψε Μάριόν τε Κέλσον καὶ Σουητώνιον Παυλῖνον ἔτι τε Γάλλον καὶ Σπουρίναν ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ἐπὶ τῶν πραγμάτων ὡς προῃροῦντο τοῖς ἑαυτῶν λογισμοῖς δι' ἀταξίαν καὶ θρασύτητα τῶν στρατιωτῶν· οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν, ὡς παρ' αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντάπασιν οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν.

2. c. 33: perpulerunt (Othonem) ut Brixellum concederet.

1. c. 90: in consiliis militiae Suetonio Paulino et Mario Celso uti credebatur. 2. c. 11: his copiis rector additus Annius Gallus cum Vestricio Spurinna. c. 39: Celsus et Paulinus cum prudentia eorum nemo uteretur — miles alacer, qui tamen iussa ducum interpretari quam exsequi mallet. c. 33: Otho cui uni apud militem fides, — imperia ducum in incerto reliquerat. c. 29: Valens coërcere seditionem coeptabat, ipsum inuadunt, saxa iaciunt, fugientem secuntur — gnarus ciuilibus bellis plus militibus quam ducibus licere.

[1]) Dieser Abschnitt ist durch die Nachlässigkeit Plutarch's fälschlich hier eingefügt; man vergleiche den Text des Tacitus.

[2]) Plutarch hat dieses Ereignis viel zu früh gesetzt; er erzählt es später (c. 10) noch einmal und hier am richtigen Platz, während es an unsere Stelle durch reine Nachlässigkeit gekommen ist.

